ζητοῦϲιν αὐτὴν ὡϲ θάνηι πετρουμένη.
Χο. οἴμοι, τί λέξειϲ; οὔτι που λελήμμεθα
κρυφαῖον ἐϲ παῖδ' ἐκπορίζουϲαι φόνον;
Θε. ἔγνωϲ· μεθέξειϲ δ' οὐκ ἐν ὑϲτάτοιϲ κακοῦ.
Χο. ὤφθη δὲ πῶϲ τὰ κρυπτὰ μηχανήματα;
Θε. [τὸ μὴ δίκαιον τῆϲ δίκηϲ ἡϲϲώμενον]
ἐξηῦρεν ὁ θεόϲ, οὐ μιανθῆναι θέλων.
Χο. πῶϲ; ἀντιάζω ϲ' ἱκέτιϲ ἐξειπεῖν τάδε.
πεπυϲμέναι γάρ, εἰ θανεῖν ἡμᾶϲ χρεών,
ἥδιον ἂν θάνοιμεν, εἴθ' ὁρᾶν φάοϲ.
Θε. ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόϲιϲ Κρεούϲηϲ παῖδα τὸν καινὸν λαβὼν
πρὸϲ δεῖπνα θυϲίαϲ θ' ἃϲ θεοῖϲ ὡπλίζετο,
Ξοῦθοϲ μὲν ᾤχετ' ἔνθα πῦρ πηδᾶι θεοῦ
βακχεῖον, ὡϲ ϲφαγαῖϲι Διονύϲου πέτραϲ
δεύϲειε διϲϲὰϲ παιδὸϲ ἀντ' ὀπτηρίων,
λέξαϲ· Cὺ μέν νυν, τέκνον, ἀμφήρειϲ μένων
ϲκηνὰϲ ἀνίϲτη τεκτόνων μοχθήμαϲιν.
θύϲαϲ δὲ γενέταιϲ θεοῖϲιν ἢν μακρὸν χρόνον
μείνω, παροῦϲι δαῖτεϲ ἔϲτωϲαν φίλοιϲ.
λαβὼν δὲ μόϲχουϲ ᾤχεθ'· ὁ δὲ νεανίαϲ
ϲεμνῶϲ ἀτοίχουϲ περιβολὰϲ ϲκηνωμάτων
ὀρθοϲτάταιϲ ἱδρύεθ', ἡλίου βολὰϲ
καλῶϲ φυλάξαϲ, οὔτε πρὸϲ μέϲαϲ φλογὸϲ
ἀκτῖναϲ οὔτ' αὖ πρὸϲ τελευτώϲαϲ βίον,
πλέθρου ϲταθμήϲαϲ μῆκοϲ εἰϲ εὐγωνίαν,